δὲ τῶν εὐγενῶν καὶ φρονίμων ἀνδρῶν κυροῦ Φραγγούλη τοῦ Βενέρη, κυροῦ Μιχέλη Τζὼν καὶ τοῦ κυροῦ Γάσπαρι Σουπεράντζιω καὶ κυροῦ Ἰακώβου τοῦ Δελφὶν †.

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος †.

*Origin. membr. tabularii Veneti. A tergo:* ἔτει ἀπὸ κτίσεως κόσμου ἑξακισχιλιοστῷ ἐνακοσιοστῷ τριακοστῷ ἐνάτῳ, μηνὶ μαΐῳ, ἡμέρᾳ κϛ΄ ἰνδ. θ΄ αἱ παροῦσαι τρέβαι δι᾽ ἐμοῦ Γεωργίου τοῦ Μανικαΐτου, βασιλικοῦ νοταρίου βασιλικῇ ἐξουσίᾳ *Aurea bulla avulsa est. Versio latina ad dextram.*

## XL. 6945—1436. 30. octobris ind. XIV.

*Imperator Ioannes Palaeologus prorogat pactiones anteriores cum Venetis factas in annos quinque.*

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος καὶ ἀεὶ αὔγουστος. ἐπεὶ ὁ ἐπιφανὴς καὶ μεγαλοπρεπὴς κῦρ Φραντζέσκος Φόσκαρις, θεοῦ χάριτι δοὺξ Βενετίας καὶ τὰ λοιπά, πρὸς ἡμᾶς καὶ τὴν τῆς ἡμετέρας βασιλείας παρουσίαν ἀπέστειλεν ἐν τῇ Κωνσταντινουπόλει, τῇ ἡμῶν περιφήμῳ πόλει, τὸν ἐξῃρημένον, εὐγενῆ καὶ φρόνιμον ἄνδρα κῦρ Χριστοφόρον Μαρτζέλον, ἔντιμον καὶ περιφανῆ ἀποκρισιάριον αὐτοῦ εἰς τὰ μέρη τῆς Ῥωμανίας, σύνδικόν τε καὶ ἐπίτροπον αὐτοῦ τοῦ ἐπιφανοῦς καὶ μεγαλοπρεποῦς κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας ἔχοντα ἐξουσίαν καὶ ἄδειαν καὶ ὁρισμὸν τρακταΐσαι καὶ ποιῆσαι καὶ βεβαιῶσαι καὶ πληρῶσαι τρέβας καὶ συνθήκας τὰς κατωτέρω γραφησομένας μεταξὺ ἡμῶν τε καὶ τῆς ἡμετέρας βασιλείας καὶ τοῦ προειρημένου κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας, καθὼς δηλοῦται διά τινος γράμματος δουκικοῦ αὐτοῦ τοῦ ἐπιφανοῦς καὶ μεγαλοπρεποῦς κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας, κατωχυρωμένου βούλλῃ μολιβδίνῃ μετὰ σχοινίου καναβιτικοῦ δοθέντος ἐν τῷ δουκικῷ παλατίῳ αὐτοῦ τοῦ κουμουνίου ἔτει ἀπὸ τῆς τοῦ Χριστοῦ σαρκώσεως χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ ἕκτῳ, ἰνδικτιῶνος ιδ΄, ἡμέρᾳ κ΄ τοῦ ἰουλίου μηνὸς κατὰ τὸ ἔθος τῆς Βενετίας, ἔτι δὲ καὶ διὰ γράμματος δουκικοῦ πιστώσεως αὐτοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας σταλέντος ἡμῖν καὶ τῇ ἡμετέρᾳ βασιλείᾳ καὶ δοθέντος ἐν τῷ προειρημένῳ παλατίῳ τοῦ ῥηθέντος κουμουνίου ἔτει, μηνί, ἡμέρᾳ καὶ ἰνδικτιῶνι, ὡς ἀνωτέρω, καὶ μέντοι μετὰ ποικίλας ὁμιλίας καὶ τρακταϊσμοὺς γενομένας μεταξὺ ἡμῶν τε καὶ τῆς βασιλείας ἡμῶν καὶ τοῦ προειρημένου συνδίκου, ἐπιτρόπου καὶ ἀποκρισιαρίου περιφανοῦς, ἡμεῖς Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος δι' ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν, ἔτι τε τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν, ὁμοίως δὲ καὶ ὁ εἰρημένος ἀποκρισιάριος, σύνδικος καὶ ἐπίτροπος δικαίῳ καὶ ὀνόματι τοῦ προειρημένου κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας ὑπὲρ εἰρήνης καὶ ἀγάπης ἑκατέρωθεν ὀφειλομένης τηρηθῆναι καὶ φιλίας ἐπὶ τὸ κρεῖττον αὐξηθησομένης ἐπικαλεσάμενοι τὸ ὄνομα τοῦ Χριστοῦ συνέβημεν ἐπὶ τούτοις, δηλονότι, ἵνα ἀπὸ τῆς παρούσης ἡμέρας εἰς τὸ ἔμπροσθεν μέχρι πέντε ἐτῶν τῶν ἐφεξῆς ἀκολουθησόντων μεταξὺ ἡμῶν τε καὶ τῆς βασιλείας ἡμῶν καὶ τοῦ ἡμετέρου λαοῦ, ἔτι τε τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν καὶ αὐτοῦ τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας καὶ πάντων τῶν ὑποτεταγμένων αὐτοῖς διαμένωσιν ἐν ἰσχύι καὶ ἀκμῇ εἰλικρινεῖ καὶ ὁμονοίᾳ τρέβαι ὀφείλουσαι διαρκεῖν, στηρίζοντες καὶ βεβαιοῦντες μέχρι τῆς εἰρημένης διωρίας πάσας τὰς παρελθούσας καὶ ἐκπνευσάσας τρέβας μετὰ πάντων τῶν κεφαλαίων, τῶν καταστάσεων, τῶν στοιχημάτων, τῶν συμφωνιῶν, τῶν διασαφήσεων, τῶν ἐπερωτήσεων, βεβαιώσεών τε καὶ ζημιῶν ἐπιθέσεων τε καὶ τῶν ἄλλων πάντων τῶν ἐμπεριεχομένων ἐν ταῖς τρέβαις ταῖς ἀνωτέρω δηλουμέναις ταῖς παρελθούσαις, καθὼς μέχρι τοῦ νῦν καθέστηκε σύνηθες, μετὰ τῶν διασαφήσεων καὶ προσδιορισμῶν τῶν κατωτέρω γραφησομένων, δηλονότι, ὅτι εἰ καὶ ὁ κῦρ δοὺξ καὶ τὸ κουμούνιον Βενετίας φανερῶς ἔχουσιν ἀπὸ τοῦ τύπου τῶν τρεβῶν τῶν τε νέων καὶ τῶν παλαιῶν, ὥστε ἐξεῖναι τοῖς Βενετίκοις αὐτῶν ὠνεῖσθαι ἐλευθέρως οἰκίας, κάμπους, περιβόλια καὶ κτήματα ἐν τῇ Κωνσταντινουπόλει καὶ πάσῃ τῇ βασιλείᾳ ἡμῶν, ὁ προειρημένος κῦρ δοὺξ καὶ τὸ κουμούνιον Βενετίας, κατανοοῦντες τὴν παροῦσαν κατάστασιν τῆς βασιλείας ἡμῶν, ἵνα ἐπιγνῶμεν τὴν αὐτῶν καλὴν διάθεσιν πρὸς τὴν ἡμετέραν συντήρησιν, προενοήσαντο ὁδῷ κουρτεσίας καὶ ἀγάπης ἀρέσαι ἡμῖν τοῦτον τὸν τρόπον, ὅτι μὴ ἐλαττου-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Τ. ΥΑ της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μένων διὰ τοῦτο πασῶν τῶν ἐλευθεριῶν τε καὶ φραγγισιῶν, ἃς ἔχουσι καὶ ἔχειν ὀφείλουσιν οἱ Βενέτικοι διὰ τῶν τρεβῶν, κωλύσουσι τοὺς αὐτῶν Βενετίκους, ὥστε μέχρι τῆς συμπληρώσεως καὶ διωρίας τῶν παρουσῶν τρεβῶν μὴ ἀγοράσαι ὀσπήτια, τόπους, περιβόλια καὶ κτήματα, ἐναπομενόντων τῶν νῦν ὄντων ἐν ταῖς χερσὶ τῶν Βενετίκων μετὰ τῶν τρόπων ἐκείνων καὶ τῶν καταστάσεων, καθ' ἃς κατέχουσι ταῦτα κατὰ τὸ παρόν, δηλοποιουμένου, εἰ καὶ τὰ μάλιστα διὰ τῶν τρεβῶν ἱκανῶς ἐστι δῆλον, καὶ οὐ δεῖ ἐπὶ πλείω σαφηνίσεως, ὅτι διὰ τὴν εἰρημένην πρόφασιν οὐδεμία καινότης, δόσις, κομμέρκιον ἢ ἐμφύτευμα δυνήσεται ἐπιτεθῆναι δι' ἡμῶν τε καὶ τῆς βασιλείας ἡμῶν ἐπὶ ταῖς οἰκίαις, τοῖς τόποις, τοῖς κτήμασι καὶ περιβολίοις τοῖς νῦν οὖσιν ἐν ταῖς χερσὶ τῶν Βενετίκων, ἥτις καινότης ἢ βάρος δυνήσεται ἀνακύψαι εἰς βλάβην καὶ ζημίαν τῶν Βενετίκων. ἔτι ἐπειδὴ ἡμεῖς ὁ βασιλεὺς εἴπομεν τῷ εἰρημένῳ συνδίκῳ, ἀποκρισιαρίῳ καὶ ἐπιτρόπῳ, ὅτι αἱ πρόσοδοι καὶ τὰ κομμέρκια ἡμῶν βλάπτονται διὰ τὰ πολλὰ καπηλεῖα, ἅπερ οἱ Βενέτικοι κρατοῦσιν ἐν Κωνσταντινουπόλει, καὶ τὴν μεγάλην ἀμετρίαν τοῦ οἴνου τοῦ πωλουμένου ἐν αὐτοῖς, καὶ ὅτι διὰ ταῦτα ὀφείλουσι προνοήσασθαι πρὸς τοῦτο, τούτου χάριν, εἰ καὶ τὰ μάλιστα διὰ τοῦ τύπου τῶν τρεβῶν ἔξεστι τοῖς Βενετίκοις κρατεῖν καπηλεῖα κατὰ πάντα ἀριθμὸν καὶ ἀγοράζειν καὶ πωλεῖν ἐλευθέρως, καθὼς ἂν βούλωνται, ὅμως ὁδῷ κουρτεσίας καὶ ἀγάπης ἐκρίναμεν πρόνοιαν ποιήσασθαι τοῦτον τὸν τρόπον, δηλονότι μέχρι τῆς διωρίας τῶν παρουσῶν τρεβῶν ὁ προειρημένος κῦρ δοὺξ καὶ τὸ κουμμούνιον Βενετίας τάξουσιν, ὅτι οἱ Βενέτικοι αὐτῶν ἕξουσιν ἐν τῇ Κωνσταντινουπόλει δεκαπέντε μόνον καπηλεῖα, καὶ τὰ ἄλλα πάντα παυθήσονται, ἐν οἷς δήπου τεταγμένοις καπηλείοις οἱ Βενέτικοι αὐτῶν δυνήσονται πωλεῖν οἶνον παντοῖον κατακοπτικῶς ἐν οἱαδήποτε ποσότητι χωρίς τινος βάρους, νοουμένου, ὅτι διὰ τὴν συγκατάβασιν ταύτην οὐ νοηθήσεται διὰ τοῦτο ἐλαττοῦσθαι ἐν τῷ μέλλοντι χρόνῳ τὰς ἐλευθερίας καὶ φραγγισίας τῶν Βενετίκων, καθὼς ἐστι δίκαιον. ἔτι μέσον ἡμῶν τε καὶ τῆς βασιλείας ἡμῶν καὶ τοῦ εἰρημένου κυροῦ ἀποκρισιαρίου, συνδίκου καὶ ἐπιτρόπου γέγονε σαφὲς ὑπὲρ τοῦ πᾶσαν ἀμφιβολίαν ἀναιρεθῆναι, δύνασθαι τοὺς Βενετίκους πωλεῖν ἐλευθέρως σῖτον ἐν παντὶ μέρει καὶ τόπῳ τῆς βασιλείας ἡμῶν, ὅπου οὐκ ἔστι προσφόριον, σωζομένου τοῦ μὴ τὸν σῖτον ἐκεῖ-

νον γεωργηθῆναι ἐν τῇ ἡμετέρᾳ βασιλείᾳ, ὅπερ διαμενέτω κατὰ τὸν τύπον τῶν τρεβῶν· εἰ δὲ οἱ Βενέτικοι θέλουσι πωλεῖν ἐν τῷ τόπῳ τοῦ προσφορίου, δύνανται πωλεῖν ἀποδιδόντες τὸ κομμέρκιον. πλὴν εἴ τις Ῥωμαῖος θελήσει πωλεῖν σῖτον, ὅπου ὁ Βενέτικος πωλεῖ ἔξω προσφορίου, τότε ὁ Βενέτικος κομμέρκιον οὐκ ἀποφλήσει διὰ τὸ ἐλευθέρως δύνασθαι πωλεῖν. καὶ ἐπεὶ ἐγένοντό τινες διαφοραὶ μέσον ἡμῶν τε καὶ τῆς βασιλείας ἡμῶν καὶ τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας περὶ τοῦ τόπου τοῦ προσφορίου, ὑπὲρ μείζονος σαφηνείας τάττομεν, ὅτι ὁ τόπος τοῦ προσφορίου τῆς Κωνσταντινουπόλεως ἔστω καὶ εἶναι νοείσθω κατὰ τὰ ὅρια τὰ ἀρχῆθεν εἰωθότα. ἔτι ὁ ῥηθεὶς ἀποκρισιάριος, σύνδικος καὶ ἐπίτροπος εἶπεν ἡμῖν, ὅτι [τι]νὲς Βενέτικοι καὶ ὡς Βενέτικοι καταλογιζόμενοι παρὰ τῆς ἡμετέρας βασιλείας ἐγένοντο Ῥωμαῖοι, ἀρκούμεθα ἡμεῖς ὅ τε βασιλεὺς καὶ ἡ βασιλεία ἡμῶν ἀνακαλέσασθαι πάντας τοὺς Βενετίκους καὶ τοὺς ὡς Βενετίκους καταλογιζομένους τοὺς γεγονότας Ῥωμαίους ἐναντίως τοῦ τύπου τῶν τρεβῶν ἀπὸ τοῦ καιροῦ τῶν ἐσχάτων τρεβῶν τῶν γενομένων ἐν τῇ Κωνσταντινουπόλει μέχρι τῶν νῦν οὕτω καὶ τοιουτοτρόπως, ὅτι οἱ Βενέτικοι οἱ γεγονότες Ῥωμαῖοι εἰς τὸ ἑξῆς οὐ διαβιβασθήσονται ὡς Ῥωμαῖοι, ἀλλ' ὡς Βενέτικοι. ἔτι περὶ τῆς πράξεως τῶν ἐξωτερικῶν κρασίων ἡμεῖς ὁ βασιλεὺς καὶ ἡ βασιλεία ἡμῶν ὑπισχνούμεθα καὶ ἀρέσκει ἡμῖν γενέσθαι καὶ φυλάττεσθαι κατὰ τὸν τύπον τῶν τρεβῶν. ἔτι περὶ τῆς πράξεως τοῦ σίτου, ἡμεῖς ὁ βασιλεὺς καὶ ἡ βασιλεία ἡμῶν λέγομεν καὶ ἀρέσκει ἡμῖν γενέσθαι ἐπ' αὐτοῦ τοῦ σίτου καὶ περὶ αὐτοῦ κατὰ τὸν τύπον τῶν τρεβῶν, μενουσῶν τῶν ἄλλων πασῶν ἐλευθεριῶν καὶ φραγγισιῶν ἐπὶ πάσαις ταῖς ἄλλαις πραγματείαις καὶ τοῖς πράγμασιν εἰς τὴν αὐτῶν κατάστασιν κατὰ τὸν τύπον τῶν τρεβῶν. ἔτι ἡμεῖς ὁ βασιλεὺς καὶ ἡ βασιλεία ἡμῶν ὑπισχνούμεθα τῷ εἰρημένῳ ἀποκρισιαρίῳ, συνδίκῳ καὶ ἐπιτρόπῳ, ὥστε πάντα τὰ καινουργήματα, ἀποστερήσεις, ἀδικίας, προσκρούσματα καὶ ζημίας τὰς γενομένας δι' ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν τοῖς ὑποτεταγμένοις τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας ἐν τῷ καιρῷ καὶ ἀπὸ τοῦ καιροῦ τῶν τελευταίων τρεβῶν τῶν γενομένων ἐν τῇ Κωνσταντινουπόλει καὶ μετὰ ταῦτα ἐναντίως τοῦ τύπου τῶν τρεβῶν καταλῦσαι καὶ διορθώσασθαι καὶ ἐπαναγαγεῖν εἰς τὴν ὀφειλομένην εἶναι καὶ ἐν ᾗ ἦσαν καταστάσει, καθὼς

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐστι δίκαιον καὶ ὀφείλομεν κατὰ τὸν τύπον τῶν τρεβῶν. ὁμοίως δὲ καὶ ὁ εἰρημένος ἀποκρισιάριος, σύνδικος καὶ ἐπίτροπος ὀνόματι καὶ δικαίῳ τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας ὑπισχνεῖται ἡμῖν καὶ τῇ βασιλείᾳ ἡμῶν πάντα τὰ ἄλλα καινουργήματα, ἀποστερήσεις, ἀδικίας, προσκρούσματα καὶ ζημίας τὰς γενομένας διὰ τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας τοῖς ὑποτεταγμένοις ἡμῖν ἐν τῷ καιρῷ καὶ ἀπὸ τοῦ καιροῦ τῶν τελευταίων τρεβῶν τῶν γενομένων ἐν τῇ Κωνσταντινουπόλει καὶ μετὰ ταῦτα ἐναντίως τοῦ τύπου τῶν τρεβῶν καταλῦσαι καὶ διορθώσασθαι καὶ ἀπαναγαγεῖν εἰς τὴν ὀφειλομένην εἶναι καὶ ἐν ᾗ ἦσαν καταστάσει, καθὼς ἐστι δίκαιον καὶ ὀφείλουσι κατὰ τὸν τύπον τῶν τρεβῶν. ἔτι ἐπειδὴ ἡμεῖς ὁ βασιλεὺς καὶ ἡ βασιλεία ἡμῶν ἐνεχόμεθα καὶ ἀπολειπαζόμεθα δοῦναι καὶ ἀποφλῆσαι τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας ὑπὲρ ἱκανοποιήσεως τῶν παλαιῶν ζημιῶν ὑπέρπυρα χιλιάδας δεκαεπτὰ καὶ ἑκατὸν ἑξηκοντατρία, ὑπισχνούμεθα τῷ εἰρημένῳ ἀποκρισιαρίῳ, συνδίκῳ καὶ ἐπιτρόπῳ ὀνόματι τῷ προειρημένῳ δοῦναι καὶ ἀποφλῆσαι τὰ τοιαῦτα ὑπέρπυρα διὰ πέντε ἐτῶν τῶν ἐφεξῆς ἐλευσομένων, ἀρχομένης τῆς διωρίας τῶν εἰρημένων χρόνων ἀπὸ τῆς ἡμέρας τῆς βεβαιώσεως τοῦ παρόντος συμβολαίου, δηλονότι ἡμέρᾳ τελευταίᾳ τοῦ ὀκτωβρίου, διαιροῦντος τὰς εἰρημένας δεκαεπτὰ χιλιάδας τὰ ὑπέρπυρα καὶ ἑκατὸν ἑξήκοντα τρία κατὰ πέμπτον καὶ ἀποδιδόντες κατ᾽ ἐνιαυτὸν τὸ ἐπιβάλλον μέρος, δηλονότι τὸ πέμπτον, ὅπερ ἐστὶν ὑπέρπυρα τρισχίλια τετρακόσια τριακονταδύο, κοκκία δεκατέσσαρα ἥμισυ ἢ ἔγγιστα καὶ οὕτω κατὰ διαδοχήν, μέχρις ἂν πληρωθῇ ἡ ἀπόφλησις τῶν εἰρημένων δεκαεπτὰ χιλιάδων ὑπερπύρων καὶ ἑκατὸν ἑξήκοντα τριῶν καὶ ἱκανοποιήσωμεν ἀκεραίως ἐν ταῖς εἰρημέναις διωρίαις τῶν προειρημένων πέντε ἐτῶν, συνάπτοντες ἐξ ἐνιαυτοῦ εἰς ἐνιαυτὸν κατὰ διαδοχήν, δηλονότι ἀπὸ τοῦ ὀκτωβρίου μηνός, ὡς προείρηται, ἃ δὴ πάντα ὑπέρπυρα δώσομεν καὶ ἀποφλήσομεν ἐν τοῖς εἰρημένοις καιροῖς καὶ διωρίαις πάσης προφάσεως ἀναιρουμένης ἐν χερσὶ τοῦ μπαΐούλου τῶν Βενετίκων τοῦ κατὰ καιρὸν εὑρισκομένου ἐν Κωνσταντινουπόλει ἢ ᾧτινι ἢ οἷστισιν ὁ κῦρ δοὺξ καὶ τὸ κουμούνιον Βενετίας ἀποτάξωσι, σωζομένων διόλου καὶ φυλαττομένων πασῶν καὶ ἑκάστων ζημιῶν τῶν Βενετίκων τῶν μὴ τεταγμένων, αἷς διὰ τῆς παρούσης τρέβας μὴ ἔστω ἐλάττωσις, καὶ

τὸ ἀνάπαλιν καὶ σωζομένων δηλονότι καὶ φυλαττομένων ἀκεραίως καὶ τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας πάντων τῶν δικαίων καὶ ἀγωγῶν, ἃ δὴ καὶ ἃς ὁ κῦρ δοὺξ καὶ τὸ κουμούνιον Βενετίας ἔχουσι καὶ ἔχειν δυνήσονται καθ' ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν ἔν τινι συμβολαίῳ δουκάτων χρυσῶν τριάκοντα χιλιάδων περί τε κεφαλαίου καὶ τόκου καὶ ζημιῶν καὶ ἐξόδου καὶ τῶν διὰ μέσου καὶ πάντων τῶν ἄλλων τῶν τούτοις ἀπηωρημένων, ὡς ἐν τῷ αὐτῷ συμβολαίῳ τοῦ χρέους περιέχεται, ὃ δὴ συμβόλαιον καὶ χρέος μὴ νοείσθω μηδὲ νοεῖσθαι δύναιτο διὰ τὴν παροῦσαν τρέβαν ἢ συμφωνίαν ὁπωσοῦν ἀφειμένον, ἄκυρον ἢ ἀνατετραμμένον, μᾶλλον μὲν οὖν ἐν τῇ αὐτοῦ καταστάσει καὶ βεβαιότητι καὶ τῷ δικαίῳ, ἐν οἷς ἦν καὶ πρὸ τοῦ γενέσθαι τὴν παροῦσαν τρέβαν, βέβαιον καὶ ἀκέραιον διαμενέτω καὶ ἔσται καὶ εἶναι νοείσθω, γραφὲν τὸ εἰρημένον συμβόλαιον ἔτει χιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ τρίτῳ, ἡμέρᾳ εἰκοστῇ πρώτῃ τοῦ αὐγούστου τῆς ια' ἰνδικτιῶνος χειρὶ Πέτρου ντὲ 'Αρένα, πρεσβυτέρου τῆς ἐκκλησίας καὶ τοῦ ἁγίου Βαρθολομαίου ἐν τῇ Βενετίᾳ καὶ νοταρίου Βενετίας καὶ καντζελαρίου τοῦ κυροῦ μπαϊούλου τῶν ἐν Κωνσταντινουπόλει Βενετίκων, ὑπὲρ ὧν χρυσῶν δουκάτων τριάκοντα χιλιάδων καὶ ἑτέρων τῶν προειρημένων ἐν τῷ ῥηθέντι συμβολαίῳ διαλαμβανομένων ὁ κῦρ δοὺξ καὶ τὸ κουμούνιον Βενετίας ἔχουσιν εἰς ἐνέχυρα κόσμια τῆς βασιλείας τὰ ἐμπεριεχόμενα ἐν τῷ ῥηθέντι συμβολαίῳ, καὶ σωζομένων ἀεὶ καὶ τηρουμένων τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας ἀκεραίως πάντων τῶν δικαίων καὶ ἀγωγῶν, ἃ δὴ καὶ ἃς ὁ κῦρ δοὺξ καὶ τὸ κουμούνιον Βενετίας ἔχουσιν ἢ ἔχειν δύνανται κατὰ τῆς βασιλείας ἡμῶν περὶ δουκάτων χρυσῶν πέντε χιλιάδων τῶν δανεισθέντων τῇ βασιλείᾳ ἡμῶν ἐν τῇ Αἴνῳ διά τινος σὺρ Μαρίνου Φαρέτρου ὀνόματι τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας, ὑπὲρ ὧν ὁ κῦρ δοὺξ καὶ τὸ κουμούνιον Βενετίας ἔχουσιν εἰς ἐνέχυρον ἀπὸ τῆς βασιλείας ἡμῶν παλάξιον ἕν, οὕτω μέντοι, ὅτι ἀποφληθέντων τῶν εἰρημένων πέντε χιλιάδων δουκάτων χρυσῶν τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας ἐνεχέσθωσαν τὸ εἰρημένον παλάξιον τῇ ἡμετέρᾳ βασιλείᾳ ἀποδοῦναι. ἔτι ὁ εἰρημένος κῦρ ἀποκρισιάριος, σύνδικος καὶ ἐπίτροπος τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνιόυ Βενετίας διὰ τῆς παρούσης συμφωνίας καὶ τρέβας ἀφίησιν, ἀνατρέπει καὶ κατα-

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε. ΚΑ τη. Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

λύει πάσας τε καὶ ἑκάστας τὰς ἄλλας ἀδικίας, βαρύτητας καὶ ζημίας τὰς ἐπενεχθείσας παρ' ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν καὶ τῶν λαῶν καὶ ὑποτεταγμένων ἡμῖν τοῖς Βενετίκοις καὶ πιστοῖς τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας ἕως τῆς σήμερον ἡμέρας, ἐλευθερῶν καὶ ἀπολύων καὶ ἐλευθέρους καὶ ἀπολελυμένους εἰς τὸ διηνεκὲς εἶναι θέλων ἡμᾶς καὶ τὴν βασιλείαν ἡμῶν καὶ τοὺς λαοὺς ἡμῶν καὶ τοὺς κληρονόμους καὶ διαδόχους ἡμῶν ἀπὸ τῶν εἰρημένων ἀδικιῶν, ζημιῶν τε καὶ προσκομμάτων τῶν ἐπενεχθέντων καὶ γενομένων παρὰ τῶν προηγησαμένων ἡμᾶς καὶ τῶν λαῶν τῶν ὑποτεταγμένων ἡμῖν καὶ τῆς βασιλείας ἡμῶν καὶ ἰδίως περὶ ἐκείνων τῶν τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας καὶ τοῖς πολίταις Βενετίκοις ἐπενεχθέντων καὶ γενομένων ἐν τῷ καιρῷ τοῦ τῆς μακαρίας καὶ ὁσιωτάτης μνήμης κυροῦ Ἀνδρονίκου, ἐν Χριστῷ τῷ θεῷ πιστοῦ βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων, τοῦ Παλαιολόγου, τοῦ θείου τῆς βασιλείας μου, ποιοῦντος ἡμῖν καὶ τῇ ἡμετέρᾳ βασιλείᾳ τοῦ εἰρημένου ἀποκρισιαρίου, συνδίκου καὶ ἐπιτρόπου ὀνόματι καὶ δικαίῳ τοῦ εἰρημένου κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας δεχομένοις καὶ λαμβάνουσι τέλος, ἐλευθερίαν, ὑπόσχεσιν καὶ συμφωνίαν, ὥστε εἰς τὸ ἑξῆς μὴ ἀπαιτεῖν ἢ μνημονεύειν περὶ τῶν προειρημένων πρὸς ἡμᾶς καὶ τὴν βασιλείαν ἡμῶν, τούς τε κληρονόμους καὶ διαδόχους ἡμῶν καὶ ὁμοίως ἡμεῖς ὁ βασιλεὺς καὶ ἡ βασιλεία ἡμῶν δι' ἡμῶν καὶ τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν ἀφίεμεν διὰ τῆς παρούσης συμφωνίας καὶ τρέβας, ἀκυροῦμεν καὶ ἀνατρέπομεν καὶ καταλύομεν πάσας τε καὶ ἑκάστας τὰς ἄλλας ἀδικίας καὶ βαρύτητας καὶ ζημίας τὰς ὁπωσδήποτε ἐπενεχθείσας ἡμῖν καὶ τῇ βασιλείᾳ ἡμῶν καὶ τοῖς προηγησαμένοις ἡμᾶς διὰ τοῦ προειρημένου κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας, τῶν τε καπετάνων τῶν Βενετίκων, εἴτε παρ' οἱωνδήτινων ἄλλων ὀφφικιαλίων, προνοητῶν, ῥεκτόρων καὶ πάντων ἄλλων οἱωνδήτινων ὑποτεταγμένων τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας, καὶ δὴ ἀπὸ τῶν προειρημένων πάντων καὶ ἑκάστων τῶν συμβάντων καὶ γενομένων καὶ ἐπενεχθέντων ἔστωσαν καθόλου ἀπολελυμένοι καὶ ἀναπεπαυμένοι, ἀναπαύοντες καὶ ἀπολύοντες καὶ εἰς τὸ διηνεκὲς ἐλευθεροῦντες τὸν εἰρημένον κὺρ δοῦκαν καὶ τὸ κουμούνιον Βενετίας, τοὺς λαοὺς αὐτῶν καὶ τοὺς ὑποτεταγμένους αὐτοῖς ἀπὸ πασῶν τῶν προειρημέων ἀδικιῶν καὶ τῶν ἄλλων ὁπωσδήποτε

ἡμῖν καὶ τοῖς προηγησαμένοις ἡμᾶς καὶ τῇ ἡμετέρᾳ βασιλείᾳ ἐπενεχθέντων προσκομμάτων καὶ ζημιῶν μέχρι τῆς παρούσης σήμερον ἡμέρας, ὡς ἀνωτέρω προείρηται, ἀπὸ τοῦ καιροῦ τῶν τελευταίων τρεβῶν τῶν γενομένων ἐν τῇ Κωνσταντινουπόλει καὶ εἰς τὸ ἑξῆς. περὶ δὲ τῶν ἔργων τῆς Τενέδου μηδεμία γενέσθω μνήμη κατὰ τὸ παρόν, ἀλλὰ μενέτωσαν οὕτως ἐν μετεώρῳ, μέχρις ἂν ὁ ὡρισμένος χρόνος τῆς παρούσης τρέβας διαμένῃ. ἔτι δὲ μὴ νοουμένου διὰ τῆς παρούσης τρέβας καὶ συμφωνίας, ὅτι ἐὰν ὦσί τινα συμβόλαια καὶ συμφωνίαι ἢ στοιχήματα, ἐξ ὧν ἢ ἐκ τῆς δυνάμεως ἐκείνων τινὲς Ῥωμαῖοι ὑποτεταγμένοι ἢ καὶ πιστοὶ ἡμῶν καὶ τῆς ἡμετέρας βασιλείας ἐνέχονται ἢ ὀφείλουσι Βενετίκοις τισὶν ὑποτεταγμένοις καὶ πιστοῖς τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας, ἢ ἀνάπαλιν Βενέτικοί τινες ὑποτεταγμένοι καὶ πιστοὶ τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας ἐνέχονται ἢ ὀφείλουσι Ῥωμαίοις τισὶν ὑποτεταγμένοις καὶ πιστοῖς ἡμῶν καὶ τῇ βασιλείᾳ ἡμῶν ὁπωσδήποτε, ἔσονται ἀφειμένα ἢ ἀνατετραμμένα ἢ ἄκυρα, μᾶλλον μὲν οὖν ἐκδηλότερον νοείσθω καὶ δηλούσθω διὰ τοῦ παρόντος στοιχήματος καὶ τῶν τρεβῶν, ὅτι αὐτοὶ οἱ τοιοῦτοι Βενέτικοι πιστοὶ καὶ ὑποτεταγμένοι τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας δυνήσονται καὶ ἰσχύσουσι χρῆσθαι τοῖς δικαίοις αὐτῶν καθ᾽ οἱωνδήτινων Ῥωμαίων τῶν ὀφειλόντων αὐτοῖς, οἷς δὴ Βενετίκοις καὶ ἑκάστῳ αὐτῶν ἡμεῖς καὶ ἡ βασιλεία ἡμῶν ποιήσομεν καὶ γενέσθαι διαπραξόμεθα δίκαιον διευθετημένον καὶ ἐντελές, ὡς πρότερον ἐνειχόμεθα, ἀκεραίως καὶ νῦν ὀφείλομεν· καὶ κατὰ τὸν ὅμοιον τρόπον οἱ ἡμέτεροι Ῥωμαῖοι δυνήσονται καὶ ἰσχύσουσι χρῆσθαι τοῖς δικαίοις αὐτῶν καθ᾽ οἱωνδήποτε Βενετίκων πιστῶν καὶ ὑποτεταγμένων τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας ὀφειλόντων αὐτοῖς, οἵστισι δὴ Ῥωμαίοις ὁ κῦρ δοὺξ καὶ τὸ κουμούνιον Βενετίας, ὁ μπαΐουλος καὶ ὁ ῥέκτωρ καὶ οἱ ὀφφικιάλιοι τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας ὁπουδήποτε καθεστῶτες δίκαιον ποιήσουσι διευθετημένον καὶ ἐντελές, ὡς πρότερον ἠνείχοντο, ἀκεραίως καὶ νῦν ὀφείλουσι, σωζομένων ἀεὶ καὶ τηρουμένων πασῶν καὶ ἑκάστων τῶν παραφυλάξεων καὶ καταστάσεων καὶ ὑποσχέσεων καὶ διασαφήσεων, εἴτε περὶ ζημιῶν τῶν μὴ ταχθεισῶν, ἰδίως ῥηθεισῶν καὶ ὀνομασθεισῶν, εἴτε περὶ τῶν ἄλλων τῶν ἀνωτέρω ὀνομασθέντων, οἷς διὰ τῆς παρούσης τρέβας ἢ ἀφε-

σεως τῶν ἀδικιῶν, τῶν προσκομμάτων καὶ τῶν ζημιῶν μὴ νοείσθω κατά τι ἐλάττωσις. ἅπερ δὴ πάντα καὶ ἕκαστα τὰ ἀναγεγραμμένα ἡμεῖς ὁ βασιλεὺς καὶ ἡ βασιλεία ἡμῶν ὑπὲρ ἡμῶν καὶ τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια, εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν, εἰς τὴν ψυχὴν ἡμῶν, ἀψάμενοι τῶν γραφῶν, ἐπὶ παρουσίᾳ τοῦ εἰρημένου κυροῦ ἀποκρισιαρίου, συνδίκου καὶ ἐπιτρόπου, καὶ αὐτὸς ὁ κῦρ ἀποκρισιάριος, σύνδικος καὶ ἐπίτροπος ὀνόματι τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας, ἀψάμενος τῶν αὐτῶν ἱερῶν γραφῶν, καὶ εἰς τὴν ψυχὴν αὐτοῦ τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας καὶ εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ὑπὲρ ἑαυτοῦ ὀνόματι τῶν προειρημένων καὶ τοῦ κουμουνίου Βενετίας ὠμόσαμεν καὶ ὑπεσχέθημεν ἀλλήλοις, βέβαια καὶ ἀμετακίνητα τὰ προειρημένα πάντα ἔχειν τε καὶ κρατεῖν καὶ ἀπαράθραυστα συντηρεῖν καὶ ἀποπληροῦν ἢ φυλάττεσθαι καὶ ἀποπληροῦσθαι ποιῆσαι καὶ μὴ ἐναντίως ποιῆσαι ἢ ἐπελθεῖν τοῖς προειρημένοις ἢ ἔν τινι τῶν προειρημένων δι' ἡμῶν ἢ δι' ἄλλων ἀπὸ δικαίου ἢ φάκτου τρόπῳ τινὶ ἢ μηχανῇ ἢ αἰτίᾳ ἐπὶ ὑποθήκῃ καὶ ἐνοχῇ τῶν ἡμετέρων καὶ τῆς βασιλείας ἡμῶν καὶ τοῦ εἰρημένου κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας ἀγαθῶν τῶν τε νῦν ὄντων καὶ ἐσομένων, ὧν πάντων εἰς μαρτυρίαν καὶ καθαρωτέραν βεβαίωσιν ἡμεῖς ὁ βασιλεὺς καὶ ἡ βασιλεία ἡμῶν τὰς παρούσας τρέβας γενέσθαι καὶ γραφῆναι προσετάξαμεν γράμμασιν ἑλληνικοῖς τε καὶ λατινικοῖς, ἑλληνικοῖς μὲν διὰ χειρὸς βασιλικοῦ νοταρίου Γεωργίου τοῦ Μανικαΐτου, λατινικοῖς δὲ διὰ χειρὸς Νικολάου Γιράρντου τοῦ ἀπὸ Βενετίας ποτὲ Γιράρντου καὶ βασιλικῇ ἐξουσίᾳ νοταρίου καὶ καντζελαρίου τοῦ εἰρημένου κυροῦ ἀποκρισιαρίου καὶ ἔτι ἐν τῇ αὐλῇ τῶν Βενετίκων ἐν τῇ Κωνσταντινουπόλει, καὶ εἰς μείζονα ἀσφάλειαν καὶ βεβαίωσιν τῶν εἰρημένων τρεβῶν ἰδίᾳ ἡμῶν χειρὶ ἐρυθροῖς γράμμασιν ὑπεγράψαμεν καὶ ἡμετέρᾳ χρυσῇ βούλλῃ ἀπηωρημένῃ κατοχυρωθῆναι ἐποιήσαμεν καὶ προσετάξαμεν, ἃς τῷ προειρημένῳ ἀποκρισιαρίῳ, συνδίκῳ καὶ ἐπιτρόπῳ δεδώκαμεν, ἔχοντες παρ' ἡμῖν ἑτέρας ὁμοίας τρέβας τὴν αὐτὴν περίληψιν ἐχούσας καὶ κατωχυρωμένας τοῦ κουμουνίου Βενετίας καὶ τοῦ εἰρημένου κυροῦ ἀποκρισιαρίου καὶ συνδίκου, βούλλῃ κηρίνῃ τῆς τοῦ ἁγίου Μάρκου εἰκόνος ἐντετυπωμένης. ἃ δὴ πάντα

καὶ ἕκαστα τὰ ἀναγεγραμμένα ἐγένοντο ἔτει ἀπὸ τῆς τοῦ κυρίου γεννήσεως χιλιοστῷ τετρακοσιοστῷ λς', ἰνδικτιῶνος ιδ' *) κατὰ τὸν τῶν Λατίνων δρόμον, ἀπὸ δὲ κτίσεως κόσμου ,ϛϡμε' ἐν μηνὶ καὶ ἡμέρᾳ τῇ ἀνωτέρω γεγραμμένῃ, παρόντων μαρτύρων ἰδίως πρὸς ταῦτα τὰ ἀνωτέρω γεγραμμένα προσκληθέντων καὶ ἀξιωθέντων, τοῦ τε περιποθήτου ἐξαδέλφου τῆς βασιλείας ἡμῶν κυροῦ Δημητρίου Παλαιολόγου τοῦ Καντακουζηνοῦ καὶ τοῦ περιποθήτου γαμβροῦ αὐτῆς κυροῦ Λουκᾶ διερμηνευτοῦ τοῦ Νοταρᾶ. Λατίνων δὲ τῶν εὐγενῶν καὶ φρονίμων ἀνδρῶν κυροῦ Φραγγούλη τοῦ Βενέρη, κυροῦ Ἰακώβου τοῦ Μαντουαρίου καὶ κυροῦ Δομένικω ντὲ Κᾶ ντὲ Πέζιγω **) †.

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος †.

*Origin. membr. tabularii Veneti. Versio latina ad dextram. Aurea bulla, quae suspensa erat serico rubro, avulsa est.*

## XLI. 6947 (1439) mense augusto ind. II.

*Imperator Ioannes Palaeologus concedit Florentinis ius creandi notarios imperiales.*

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος καὶ ἀεὶ αὔγουστος. καὶ πᾶσι μὲν τοῖς ἄλλοις ἀνθρώποις οὖσι καὶ λόγῳ χρωμένοις τὸ τοὺς ὁμογενεῖς ἐκ τῶν ὑπαρχόντων εὐεργετεῖν οἰκεῖον δήπουθεν ὁμοῦ καὶ προσῆκον τὴν τῶν· ἁπάντων ἐντεῦθεν ἐπισπωμένοις ἀγάπην, δωρουμένοις τε καὶ λαμβάνουσιν ἐν τῷ μέρει· τούτῳ γὰρ τῷ τρόπῳ τό τε περὶ τὸ θεῖον σώζοιτ' ἂν σέβας καὶ τὸ πρὸς τοὺς ὁμοφύλους κοινωνικὸν καὶ φιλάνθρωπον, μάλιστα δέ γε καὶ κυριώτατα τὸ τοιοῦτον βασιλεῦσιν ἀνήκει χρῆμα βασιλείας ὂν ἰδιαίτατον· οὐδὲν γὰρ τῶν ὅλων τοσούτῳ τὸν βασιλέα κοσμεῖ, ὅσῳ τὸ πρὸς πάντας εὐμενὲς καὶ φιλόδωρον· οὐ μόνον γάρ διὰ τούτων θεὸν κατὰ τὸ δυνατὸν μιμούμενος φαίνεται, πᾶσι προσηνῶς ὑπανοίγων τὰ ὦτα καὶ δαψιλῶς ἐπαρκῶν

*) In margine additum est: ἡμέρᾳ ϛ' νοεμβρίου.
**) Haec habet textus graecus, emendandus e versione latina: Iacobo Baduario (Badoer) et Dominicho de Cà de Pexaro (Pesaro).



ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ταῖς τῶν δεομένων αἰτήσεσι καὶ τῇ παρ' αὐτοῦ βασιλείῳ λαμπηδόνι τοὺς εὐεργετουμένους καταφαιδρόνων, ἀλλὰ καὶ τὴν τῶν ἄλλων εὔνοιαν ἑαυτῷ εἰσποιεῖται καὶ σώζει τὸ ἐμπιστευθὲν αὐτῷ καὶ χορηγηθὲν ἐκ θεοῦ σχῆμα τῆς βασιλείας· προκεῖσθαι γὰρ ἀνάγκη τοὺς βασιλέας κοινὸν ἀγαθόν, οἷόν τινα μίαν ἁπάντων ἀνθρώπων ψυχήν, μᾶλλον δ' εἰπεῖν, καθάπερ τινὰς ἐπιτρόπους καὶ κηδεμόνας τῷ τῶν ἀνθρώπων γένει, θεοῦ καὶ τῆς ἀοράτου καὶ ὑψηλῆς ἐκείνου προνοίας ὑπηρέτας καὶ μάρτυρας. τῆς δὲ τοιαύτης γνώμης αὐτῶν καὶ τοῦ βούλεσθαι σώζειν τόδε τὸ σχῆμα ἀκέραιον οὐκ ἂν ἔχοι ἐναργέστερον ἐκφῆναι σημεῖον τοῦ μὴ μόνον κατανεύειν ἑτοίμως τοῖς αἰτοῦσι τὰ δίκαια, ἀλλὰ καὶ οἴκοθεν μηδένων αἰτούντων προθύμους εἶναι περὶ τὰς εὐσχήμονας δωρεάς, ἑκάστου τιμῶντας τὴν ἀρετὴν καὶ δωρεαῖς προβιβάζοντας εὐπρεπέσιν· ὅσῳ γὰρ διὰ τῶν χορηγουμένων ὑπ' αὐτῶν δωρεῶν τοῖς ἄλλοις συγκαταβαίνοντες ὁμιλοῦσι, τοσούτῳ μάλιστα τὸ τῆς βασιλείας ἀξίωμα μεγαλύνουσι, πηγὴν καὶ κοινὸν πρυτανεῖον ἐνδεικνύντες αὐτὴν καὶ πάσης ἐπιγείου ἀρχῆς ἀκρώρειαν.

Διὰ δὴ ταῦτα ἀποβλέψασα ἡ βασιλεία μου πρὸς τὴν ἐπιφανῆ τῆς μεγαλοπρεποῦς πόλεως Φλωρεντίας κοινότητα καὶ ἣν κέκτηνται ἀρετὴν καὶ περὶ τὰ καλὰ καὶ γενναῖα μεγαλοπρέπειαν καὶ ὅσον δόξης ἀντιποιοῦνται καὶ δικαιοσύνης καὶ ἐν πᾶσιν ὀρθότητος, καὶ βουλομένη ταύτην ὅσον ἔνεστιν ἐξᾶραι τε καὶ τιμῆσαι καὶ βασιλικαῖς κατακοσμῆσαι δωρεαῖς καὶ διὰ τὰ προειρημένα μέν, ἔτι δὲ καὶ δι' ἣν περὶ ἡμᾶς ἅμα καὶ τὰ ἡμέτερα ἐνεδείξαντο σπουδήν, θεραπείαν, πίστιν καὶ ἐπιμέλειαν ἐν τῇ παρούσῃ τῆς βασιλείας μου ἐπὶ τήνδε τὴν μεγαλοπρεπῆ πολιν αὐτῶν ἐπιδημίᾳ διὰ τὴν συγκρότησιν καὶ προβιβασμὸν τῆς ἱερᾶς καὶ ἁγίας οἰκουμενικῆς συνόδου, ἤδη ἐπιχορηγεῖ αὐτοῖς τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς, δι' οὗ καὶ διορίζεται, δωρεῖταί τε καὶ ἐπιβραβεύει, ἵνα ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς διαπαντὸς καὶ διηνεκῶς ὁ ἐπιφανὴς χορὸς τῶν ἐννέα τῆς πρώτης καὶ κορυφαίας παρ' αὐτοῖς τάξεως, τουτέστιν ὁ σημαιοφόρος τῆς δικαιοσύνης καὶ οἱ σὺν αὐτῷ λοιποὶ ὀκτώ, οἱ πρῶτοι τῶν τεχνῶν, οἱ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἐσόμενοι συνημμένως τε καὶ ὁμοῦ, παρ' ὅσον ἂν χρόνον ἐν τῇ προρρηθείσῃ διαμείνωσιν ἀρχῇ καὶ ἀξίᾳ καὶ οὐ περαιτέρω, ἔχωσιν ἄδειαν πλήρη καὶ ἐξουσίαν ἐντελῆ τοῦ ποιεῖν, προχειρίζεσθαι καὶ συνιστᾶν νοταρίους ἤτ' οὖν ταβουλλαρίους ἱκα-

νοὺς ὄντας ἐπὶ τούτῳ καὶ εἰδότας γράμματα, οὓς ὁμοῦ τε πάντας καὶ ἰδίᾳ ἕκαστον αὐτῶν προσδέξονται καὶ προβιβάσουσι τῇ εἰρημένῃ τῆς νοταρικῆς ἤτ' οὖν ταβουλλαρικῆς λειτουργίᾳ κατακοσμήσαντες, ἐξητακότες πρότερον τὸν βίον αὐτῶν καὶ τὸ ἐπιτήδευμα ἀκριβῶς καὶ κρίναντες ἱκανοὺς τῶν τοιούτων ὑποδοχεῖς τε καὶ λειτουργούς, ἀφ' ὧν καὶ λήψονται ὅρκον σωματικὸν καὶ ὑπόσχεσιν, ὥστε πανταχοῦ πιστοὺς εἶναι τῇ βασιλείᾳ [μου] καὶ τὴν εἰρημένην τῆς νοταρικῆς ἤτ' οὖν ταβουλλαρικῆς λειτουργίαν ἐν πᾶσι τοῖς συμβολαίοις καὶ συναλλάγμασι τοῖς ὑπ' αὐτῶν γενησομένοις πιστῶς ἐνεργεῖν καὶ ὀρθῶς καὶ ἄνευ δόλου, σκευωρίας ἢ ἀπάτης μετιέναι, καθαρῶς τε καὶ εἰλικρινῶς διοικεῖν. τούτοις οἱ εἰρημένοι ἐπιφανεῖς ἄνδρες, ὅ τε σημαιοφόρος τῆς δικαιοσύνης καὶ οἱ πρῶτοι τῶν τεχνῶν ἐνθήσουσι καὶ ἐγχειρίσουσιν ἄδειαν πληρεστάτην καὶ ἐξουσίαν ἐντελῆ τοῦ ποιεῖν γράμματα, συμβόλαια συντιθέναι παντοῖα καὶ συγγραφὰς, συναλλάγματά τε καὶ διαθήκας καὶ ἁπλῶς πάντα τὰ τῇ εἰρημένῃ ὑπηρεσίᾳ κατὰ νόμους ἀνήκοντα καὶ κατὰ τὰ τῶν πόλεων ἔθιμα, ἐν αἷς συναναστραφήσονται, ποιεῖν, ὑπαγορεύειν, γράφειν, πληροῦν, συντιθέναι τε καὶ ἐκτιθέναι καὶ βασιλικῇ διαβεβαιοῦν καὶ ἐμπεδοῦν ἐξουσίᾳ. ἔτι ἡ βασιλεία μου δωρεῖται τοῖς προρρηθεῖσιν ἐπιφανέσιν ἀνδράσι, τῷ τε σημαιοφόρῳ τῆς δικαιοσύνης καὶ τοῖς πρώτοις τῶν τεχνῶν τοῖς εἰς τὸ μέλλον κατὰ καιροὺς ἐσομένοις, χορηγεῖ τε καὶ ἐπιβραβεύει, ἵνα τῇ αὐτῇ βασιλικῇ ἐξουσίᾳ ἔχωσιν ἄδειαν τοὺς νόθους καὶ ἐξ ἀθεμίτου προελθόντος μίξεως κοινῇ καὶ διῃρημένως, ζώντων ἢ καὶ θανόντων τῶν γονέων αὐτῶν, νομίμους καὶ γνησίους ποιεῖν καὶ ἐπὶ πάντα τὰ τῶν γνησίων καὶ νομίμων δίκαια καὶ προνόμια ἀποκαθιστᾶν καὶ ἐπανάγειν πᾶσαν αὐτοῖς ἀπαλείφοντες τὴν ἀπὸ γεννήσεως κηλῖδα καὶ ἐπανάγοντες αὐτοὺς εἰς πάντα τὰ ἐκ διαδοχῆς δίκαια καὶ τὰ ἐξ ἀδιαθέτου, εἴς τε πάσας τὰς τιμὰς καὶ ἀξίας, αἷς δύναιντ' ἂν χρῆσθαι καὶ ὧν ἀπολαύοιεν οἱ γνήσιοι καὶ ἀπὸ νομίμων προελθόντες γάμων καὶ θεμιτῶν· ὑπεξαίρομεν δὲ καὶ νοεῖσθαι οὐ θέλομεν ἐν τούτοις τὰ τῶν αὐθεντῶν νόθα τὰ μὴ νομίμως καὶ γνησίως ἐξ αὐτῶν προελθόντα, ὡσαύτως καὶ τὰ νόθα τῶν μπαρόνων καὶ κομήτων καὶ τῶν ἄλλων ἀξιωματικῶν ἀνδρῶν. ἔτι διορίζεται ἡ βασιλεία μου, ἵνα ὅσους ἂν καὶ οἵους, ὡς προείρηται, νόθους ὄντας καὶ ἀθεμίτως προαχθέντας ἐπὶ τὸν βίον τῇ διὰ τῶν παρόντων χορηγηθείσῃ ἐξου-

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΛΟΓΙΑΣ ΙΩΑΝΝΙΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΕΞ ΣΥΝΤΗΡΗΣΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

σίᾳ οἱ προρρηθέντες ἐπιφανεῖς ἄνδρες νομίμους καταστήσωσι καὶ γνησίους, οὕτω νοῶνται καὶ ὦσι νόμιμοί τε καὶ γνήσιοι καὶ τῆς τοιαύτης ἀπολαύωσι γνησιότητος, ὥστε μηδένα τρόπον ἀπὸ τούτων ἐγγίνεσθαι πρόκριμα τοῖς τῶν γνησίων καὶ κυρίως νομίμων δικαίοις, μήτε παραβλάπτεσθαι τὰς τούτων ἐλευθερίας ἔν τε κληρονομίαις καὶ διαδοχαῖς καὶ ἐν ἁπάσαις ταῖς ἀπὸ τῶν κληρονομιῶν καὶ διαδοχῶν κατὰ τὸ ἐπιβάλλον διανομαῖς. τῇ γοῦν ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου ἕξουσιν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς διαπαντὸς καὶ διηνεκῶς ὁ προειρημένος ἐπιφανὴς χορὸς τῶν ἐννέα τῆς πρώτης καὶ κορυφαίας παρ' αὐτοῖς τάξεως, τουτέστιν ὁ σημαιοφόρος τῆς δικαιοσύνης καὶ οἱ σὺν αὐτῷ λοιποὶ ὀκτώ, οἱ πρῶτοι δηλαδὴ τῶν τεχνῶν, οἱ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἐσόμενοι συνημμένως τε καὶ ὁμοῦ, παρ' ὅσον ἂν χρόνον ἐν τῇ προρρηθείσῃ διαμείνωσιν ἀρχῇ καὶ ἀξίᾳ καὶ οὐ περαιτέρω, πλήρη ἄδειαν καὶ ἐντελῆ ἐξουσίαν τοῦ ποιεῖν, προχειρίζεσθαι καὶ συνιστᾶν νοταρίους ἤτ' οὖν ταβουλλαρίους ἱκανοὺς ὄντας ἐπὶ τούτῳ καὶ εἰδότας γράμματα, οὓς ὁμοῦ τε πάντας καὶ ἰδίᾳ ἕκαστον αὐτῶν προσδέξονται καὶ προβιβάσουσι τῇ εἰρημένῃ τῆς νοταρικῆς ἤτ' οὖν ταβουλλαρικῆς λειτουργίᾳ κατακοσμήσαντες ἐξητακότες πρότερον τὸν βίον αὐτῶν καὶ τὸ ἐπιτήδευμα ἀκριβῶς καὶ κρίναντες ἱκανοὺς τῶν τοιούτων ὑποδοχεῖς τε καὶ λειτουργούς, ἀφ' ὧν καὶ λήψονται ὅρκον σωματικὸν καὶ ὑπόσχεσιν, ὥστε πανταχοῦ πιστοὺς εἶναι τῇ βασιλείᾳ [μου] καὶ τὴν εἰρημένην τῆς νοταρικῆς ἤτ' οὖν ταβουλλαρικῆς λειτουργίαν ἐν πᾶσι τοῖς συμβολαίοις καὶ συναλλάγμασιν τοῖς ὑπ' αὐτῶν γενησομένοις πιστῶς ἐνεργεῖν καὶ ὀρθῶς καὶ ἄνευ δόλου καὶ σκευωρίας ἢ ἀπάτης μετιέναι, καθαρῶς τε καὶ εἰλικρινῶς διοικεῖν. τούτοις οἱ εἰρημένοι ἐπιφανεῖς ἄνδρες, ὅ τε σημαιοφόρος τῆς δικαιοσύνης καὶ οἱ πρῶτοι τῶν τεχνῶν ἐνθήσουσι καὶ ἐγχειρήσουσι ἄδειαν πληρεστάτην καὶ ἐξουσίαν ἐντελῆ τοῦ ποιεῖν γράμματα, συμβόλαια συντιθέναι παντοῖα καὶ συγγραφάς, συναλλάγματά τε καὶ διαθήκας καὶ ἁπλῶς πάντα τὰ τῇ εἰρημένῃ ὑπηρεσίᾳ κατὰ νόμους ἀνήκοντα καὶ κατὰ τὰ τῶν πόλεων ἔθιμα, ἐν αἷς συναστραφήσονται, ποιεῖν, ὑπαγορεύειν, γράφειν, πληροῦν, συντιθέναι τε καὶ ἐκτιθέναι καὶ βασιλικῇ διαβεβαιοῦν καὶ ἐμπεδοῦν ἐξουσίᾳ. ἔτι ἡ βασιλεία μου δωρεῖται τοῖς προρρηθεῖσιν ἐπιφανέσιν ἀνδράσι, τῷ τε σημαιοφόρῳ τῆς

δικαιοσύνης καὶ τοῖς πρώτοις τῶν τεχνῶν τοῖς εἰς τὸ μέλλον κατὰ καιροὺς ἐσομένοις, χορηγεῖ τε καὶ ἐπιβραβεύει, ἵνα τῇ αὐτῇ βασιλικῇ ἐξουσίᾳ ἔχωσιν ἄδειαν τοὺς νόθους καὶ ἐξ ἀθεμίτου προελθόντας μίξεως κοινῇ καὶ διῃρημένως, ζώντων ἢ καὶ θανόντων τῶν γονέων αὐτῶν, νομίμους καὶ γνησίους ποιεῖν καὶ ἐπὶ πάντα τὰ τῶν γνησίων δίκαια καὶ προνόμια ἀποκαθιστᾶν καὶ ἐπανάγειν, πᾶσαν αὐτοῖς ἀπαλείφοντες τὴν ἀπὸ γεννήσεως κηλῖδα καὶ ἐπανάγοντες αὐτοὺς εἰς πάντα τὰ ἐκ διαδοχῆς δίκαια καὶ τὰ ἐξ ἀδιαθέτου, εἴς τε πάσας τὰς τιμὰς καὶ ἀξίας, αἷς δύναιντ' ἂν χρῆσθαι καὶ ὧν ἀπολαύοιεν οἱ γνήσιοι καὶ ἀπὸ νομίμων προελθόντες γάμων καὶ θεμιτῶν, ὑπεξαίρομεν δὲ καὶ νοεῖσθαι οὐ θέλομεν ἐν τούτοις τὰ τῶν αὐθεντῶν νόθα τὰ μὴ νομίμως καὶ γνησίως ἐξ αὐτῶν προελθόντα, ὡσαύτως καὶ τὰ νόθα τῶν μπαρόνων καὶ κομήτων καὶ τῶν ἄλλων ἀξιωματικῶν ἀνδρῶν. ἔτι διορίζεται ἡ βασιλεία μου, ἵνα ὅσους ἂν καὶ οἵους, ὡς προείρηται, νόθους ὄντας καὶ ἀθεμίτως προαχθέντας ἐπὶ τὸν βίον τῇ διὰ τῶν παρόντων χορηγηθείσῃ ἐξουσίᾳ οἱ προρρηθέντες ἐπιφανεῖς ἄνδρες νομίμους καταστήσωσι καὶ γνησίους, οὕτω νοῶνται καὶ ὦσι νόμιμοί τε καὶ γνήσιοι καὶ τῆς τοιαύτης ἀπολαύουσι γνησιότητος, ὥστε μηδένα τρόπον ἀπὸ τούτων ἐγγίγνεσθαι πρόκριμα τοῖς τῶν γνησίων καὶ κυρίως νομίμων δικαίοις, μήτε παραβλάπτεσθαι τὰς τούτων ἐλευθερίας ἔν τε κληρονομίαις καὶ διαδοχαῖς ἐν ἁπάσαις ταῖς ἀπὸ τῶν κληρονομιῶν καὶ διαδοχῶν κατὰ τὸ ἐπιβάλλον διανομαῖς. εἰς οὖν τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο πρὸς τοὺς προρρηθέντας ἐπιφανεῖς ἄνδρας, τόν τε ἐσόμενον κατὰ διαδοχὴν τῆς δικαιοσύνης σημαιοφόρον καὶ τοὺς πρώτους τῶν τεχνῶν καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς αὐτοῖς κατὰ μῆνα αὔγουστον τῆς νῦν τρεχούσης δευτέρας ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἐννακοσιοστοῦ τεσσαρακοστοῦ ἑβδόμου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος.

*Orig. membr. tabularii Florentini cum aurea bulla suspensa serico violaceo: in parte adverso imago Christi cum literis* $\overline{\text{IC}}$ $\overline{\text{XC}}$; *in parte aversa imago imperatoris cum eius nomine.*

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Αλτής τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## XLII. 6947 (1439) mense augusto ind. II.

*Imperator Ioannes Palaeologus transfert in Florentinos iura, privilegia et loca, quae Pisani olim possidebant Constantinopoli.*

† Τὸ ταῖς εὐνοίαις καὶ ταῖς χρηστότησι πάντας, εἰ οἷόν τέ ἐστι, τοὺς ἀνθρώπους μὴ κατ' ἄνδρα μόνον, ἀλλὰ καὶ κατὰ πόλεις δεξιοῦσθαί τε καὶ προσάγεσθαι βασιλικὸς ἀπαιτεῖται νόμος τοὺς εἰς τοῦτο σχήματος ὑπὸ θεοῦ καθεστῶτας· κοινὸν γὰρ ἀγαθὸν ἀνάγκη προκεῖσθαι τοὺς βασιλέας, οἷόν τινα μίαν ψυχὴν ἁπάντων ἀνθρώπων, μᾶλλον δ' εἰπεῖν, καθάπερ τινὰς ἐπιτρόπους τῷ τῶν ἀνθρώπων γένει, θεοῦ καὶ τῆς ἀοράτου καὶ ὑψηλῆς ἐκείνου προνοίας ὑπηρέτας καὶ μάρτυρας· τῆς δὲ τοιαύτης γνώμης αὐτῶν καὶ τοῦ τουνονὶ τὸν νόμον σώζειν ἀκίνητον, οὐκ ἂν ἔχοι ἐναργέστερον ἐκφῆναι σημεῖον τοῦ κατανεύειν ἑτοίμως τοῖς αἰτοῦσι τὰ δίκαια καὶ προθύμους εἶναι περὶ τὰς εὐσχήμονας δωρεάς· οὐδὲν γὰρ τῶν ὅλων τοσοῦτον τὸν βασιλέα κοσμεῖ, ὅσον τὸ πρὸς πάντας εὐμενὲς καὶ φιλόδωρον, οὐ μόνον γὰρ διὰ τούτων θεὸν κατὰ τὸ δυνατὸν μιμούμενος φαίνεται, πᾶσι προσηνῶς ὑπανοίγων τὰ ὦτα καὶ δαψιλῶς ἐπαρκῶν ταῖς τῶν δεομένων αἰτήσεσι, τῇ τε παρ' αὐτοῦ βασιλείῳ λαμπηδόνι τοὺς εὐεργετουμένους καταφαιδρύνων, ἀλλὰ καὶ τὴν τούτων εὔνοιαν ἑαυτῷ εἰσποιεῖται, καὶ ὅσῳ διὰ τῶν χορηγουμένων ὑπ' αὐτοῦ δωρεῶν τοῖς ἄλλοις συγκαταβαίνει καὶ ὁμιλεῖ, τοσούτῳ μάλιστα δι' αὐτῶν τὸ τῆς βασιλείας ἐξαίρει ἀξίωμα, ἐπί τε τὸ ἐξοχώτατον καθιδρύων, πηγήν τε καὶ πρυτανεῖον κοινὸν ἀποδεικνύων τῶν χαρισμάτων, πάσης τε ἀρχῆς ἐπιγείου ἀκρώρειαν. διὰ δὴ ταῦτα, ἐπεὶ οἱ ἐπιφανεῖς ἄρχοντες τῆς μεγαλοπρεποῦς πόλεως Φλωρεντίας, ὁ σημαιοφόρος δηλαδὴ τῆς δικαιοσύνης καὶ οἱ πρῶτοι τῶν τεχνῶν ὀνόματι καὶ δικαίῳ πάσης τῆς πολιτείας καὶ τοῦ δήμου τῆς εἰρημένης πόλεως Φλωρεντίας ἐδεήθησαν τῆς βασιλείας μου, ἵνα δωρεᾷ ἡμετέρᾳ βασιλικῇ τιμήσωμεν αὐτοὺς καὶ παράσχωμεν αὐτοῖς ἐλευθερίας καὶ ἀτελείας τινὰς ἐν τῇ θεοφρουρήτῳ, θεοδοξάστῳ βασιλίδι πόλει ἡμῶν, τῇ Κωνσταντινουπόλει, εἰς τιμήν, περίθαλψιν, ἀσφάλειάν τε καὶ ὑποδοχὴν τῶν πραγματευτῶν αὐτῶν, τῶν τε πολιτῶν καὶ ὑπηκόων αὐτῶν, ἤδη ἡ βασιλεία μου καθόλου μὲν διὰ τὰ προειρημένα, ἰδίως δὲ διά τε τὴν ἀρετὴν αὐτῶν καὶ τὸ τοῦ τρόπου φιλάληθες, (τοὺς γὰρ τοιούτους ἡ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΕΠ. ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘ. ΚΑΘΗΓΗΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΖΑΣΗΣ Κ. ΙΩΑΝΝΙΝΑ 2008

βασιλεία μου ἀποδέχεται καὶ ἐκ παντὸς τρόπου περιθάλπειν ἐφίεται), καὶ δι' ἣν ἐνεδείξαντο περὶ τὴν βασιλείαν μου πίστιν, ἀγάπην καὶ εὔνοιαν καὶ πρότερον μέν, μάλιστα δὲ ἐξότου σωματικῶς ἐπεδήμησεν ἐπὶ τήνδε τὴν περιφανῆ πόλιν αὐτῶν, τὴν Φλωρεντίαν, διὰ τὴν συγκρότησιν καὶ προβίβασιν τῆς ἱερᾶς καὶ ἁγίας τῆσδε συνόδου καὶ οἰκουμενικῆς, (πολλὴν γὰρ περὶ ἡμᾶς καὶ περὶ τὰ ἡμέτερα πάντα ἐνεδείξαντο θεραπείαν, ἀγάπην, σπουδήν, τιμήν τε καὶ εὔνοιαν), εὐμενῶς ὑπεδέξατο τούτους καὶ ταῖς αἰτήσεσιν αὐτῶν ἐπένευσεν ἱλαρῶς. καὶ ἐπειδὴ οἱ προειρημένοι περιφανεῖς ἄρχοντες, ὅ τε σημαιοφόρος τῆς δικαιοσύνης καὶ οἱ πρῶτοι τῶν τεχνῶν ὀνόματι καὶ δικαίῳ πάσης τῆς μεγαλοπρεποῦς κοινότητος καὶ τοῦ δήμου τῆς Φλωρεντίας ἐζήτησαν, ἵνα εὐεργετήσωμεν πρὸς αὐτοὺς τὸν ναὸν τοῦ μακαρίτου Πέτρου τοῦ ἀποστόλου τὸν ὄντα ἐν τῇ προειρημένῃ θεοφυλάκτῳ βασιλίδι πόλει ἡμῶν, τῇ Κωνσταντινουπόλει, ὃς ἦν ποτε τῶν Πισσαίων, καὶ χρῶνται αὐτῷ κυρίως καὶ δεσποτικῶς, ἔχοντες ἄδειαν ἀνανεοῦν αὐτὸν καὶ ἀνακτίζειν κατὰ τὴν αὐτῶν βούλησιν, σωζομένου μέντοι καὶ φυλαττομένου τοῦ πρώτου αὐτοῦ σχήματος. ἔτι ἵνα ἔχωσι τὴν λόντζαν τὴν γενομένην ποτὲ τῶν εἰρημένων Πισσαίων, ἐν ᾗ ὀφείλουσιν ἀνιστᾶν φλάμουλον τῆς εἰρημένης κοινότητος, καὶ ἔχωσι καὶ κούνσουλον, ὃν ἂν ἐκλέγηται καὶ πέμπῃ ἐπ' αὐτοῖς ἡ εἰρημένη περιφανὴς κοινότης, ἔχοντα ἄδειαν κρίνειν καὶ ἀποφαίνεσθαι κατὰ τὸν τύπον τῶν ἄλλων κουνσούλων τῶν ἐν τῇ εἰρημένῃ πόλει τῆς βασιλείας μου τῇ Κωνσταντινουπόλει καὶ τιθέναι εἰς φυλακὴν ἰδίαν, [ὃν ἂν ἀπὸ τοῦ γένους αὐτῶν θέλωσι παιδεύειν], ἣν αὐτοὶ οἰκοδομήσουσι σύνεγγυς τῆς λόντζας αὐτῶν. καὶ ἐὰν ποτε συμβῇ ἀποθανεῖν τὸν τοιοῦτον κούνσουλον, ἔχωσιν ἐπ' ἀδείας οἱ εἰρημένοι πραγματευταὶ ἐκλέγεσθαι καὶ ἀποκαθιστᾶν ἕνα ἐκ μέσου αὐτῶν, ἕως ἂν μαθοῦσα ἡ προειρημένη περιφανὴς κοινότης αὐτῶν ποιήσηται ἕτερον ἔτι ἐδεήθησαν τῆς βασιλείας μου, ἵνα δωρήσηται αὐτοῖς καὶ εὐεργετήσῃ ἀτέλειάν τινα καὶ ἐλευθερίαν τοῦ συνήθους καὶ νενομισμένου κομμερκίου. ἔτι ἵνα ἔχωσιν ἄδειαν καὶ ἐξουσίαν ἀγοράσαι οἰκήματα ἢ ἀνοικοδομῆσαι ἀναλώμασιν ἰδίοις ἐν τῇ προειρημένῃ θεοδοξάστῳ καὶ θεοφρουρήτῳ πόλει τῆς βασιλείας μου, τῇ Κωνσταντινουπόλει, ὑπὲρ ἀναπαύσεως καὶ ὑποδοχῆς τῶν πολιτῶν καὶ πραγματευτῶν αὐτῶν τῶν ἐκεῖσε κατὰ καιροὺς εὑρισκομένων. καὶ ἐπὶ πᾶσι τούτοις,

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ...
ΙΩΑΝΝΙΝΑ 2006

ἵνα ἔχωσι σάλβον κονδοῦκτον πλῆρες καὶ διηνεκὲς οἱ ἐκεῖ ἐλευσόμενοι πραγματευταὶ καὶ πολῖται αὐτῶν ἀπὸ παντὸς συμπτώματος καιρικοῦ, πλὴν μάχης καθολικῆς ἢ βλάβης τινός, ἐάν ποτε συμβῇ γενέσθαι μεταξὺ ἡμῶν καὶ τῆς εἰρημένης κοινότητος. ἡ βασιλεία μου εὐμενῶς ταῦτα πάντα προσδεξαμένη καὶ ἐπινεύσασα, τὸν παρόντα χρυσόβουλλον λόγον αὐτοῖς ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει, δι᾿ οὗ εὐδοκεῖ, προστάσσει, θεσπίζει καὶ διορίζεται, ἵνα ἡ προειρημένη περιφανὴς κοινότης τῆς Φλωρεντίας ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἔχῃ ἄδειαν διὰ τῶν πολιτῶν καὶ ὑπηκόων αὐτῶν τῶν ἐν τῇ θεοφρουρήτῳ πόλει τῆς βασιλείας μου, τῇ Κωνσταντινουπόλει, ἐσομένων χρῆσθαι καὶ νέμεσθαι τὸν ἱερὸν ναὸν τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, ὃς ἦν ποτε τῶν Πισσαίων, κυρίως καὶ δεσποτικῶς, ἔχοντες ἄδειαν ἀνανεοῦν αὐτὸν καὶ ἀνακτίζειν κατὰ τὴν αὐτῶν βούλησιν, σωζομένου μέντοι καὶ φυλαττομένου τοῦ πρώτου αὐτοῦ σχήματος. ἔτι ἵνα ἔχωσι τὴν λόντζαν τὴν γενομένην ποτὲ τῶν εἰρημένων Πισσαίων, ἐν ᾗ ὀφείλουσιν ἀνιστᾶν φλάμουλα δύο, πρῶτον μὲν τῆς βασιλείας μου, εἶτα τῆς εἰρημένης περιφανοῦς κοινότητος, καὶ ἔχωσι καὶ κούνσουλον, ὃν ἂν ἐκλέγηται καὶ πέμπῃ ἐπ᾿ αὐτοῖς ἡ εἰρημένη περιφανὴς κοινότης ὄντα αὐτόχθονα Φλωρεντῖνον καὶ ἔχοντα ἄδειαν κρίνειν καὶ ἀποφαίνεσθαι κατὰ τὸν τύπον τῶν ἄλλωγ κουνσούλων τῶν ἐν τῇ εἰρημένῃ πόλει τῆς βασιλείας μοῦ, τῇ Κωνσταντινουπόλει, καὶ τιθέναι εἰς φυλακὴν ἰδίαν, ὃν ἂν ἀπὸ τοῦ γένους αὐτῶν θέλωσι παιδεύειν, ἥντινα φυλακὴν αὐτοὶ οἰκοδομήσουσι σύνεγγυς τῆς εἰρημένης λόντζας αὐτῶν. καὶ ἐάν ποτε συμβῇ ἀποθανεῖν τὸν τοιοῦτον κούνσουλον, ἔχωσιν ἐπ᾿ ἀδείας οἱ εἰρημένοι πραγματευταὶ ἐκλέγεσθαι καὶ ἀποκαθιστᾶν ἕνα ἐκ μέσου αὐτῶν, ἕως ἂν μαθοῦσα ἡ προειρημένη περιφανὴς κοινότης αὐτῶν ποιήσηται ἕτερον. ἔτι ἵνα ἀπὸ τοῦ συνήθους καὶ νενομισμένου μεγάλου καὶ καθολικοῦ κομμερκίου ἔχωσιν εὐεργεσίαν καὶ δωρεὰν δύο εἰς τὰ ἑκατόν, καίτοι γε δυσχερείας οὐ μικρᾶς ἐνούσης τῷ πράγματι διὰ τὴν γινομένην ἐντεῦθεν μείωσιν ἐν τοῖς βασιλικοῖς εἰσοδήμασιν· οὐ γὰρ εἴωθε τὰ τοιαῦτα ῥᾳδίως παραχωρεῖσθαι, ἀλλ᾿ οὖν ἵνα κἂν τούτῳ ὡς κἂν τοῖς ἄλλοις ἡ προειρημένη μεγαλοπρεπὴς τῆς Φλωρεντίας κοινότης εἰδῇ, πόσον ἡ βασιλεία μου ταῖς αἰτήσεσιν αὐτῆς κατά τε τὸ ἐγχωροῦν ἱκανοποιῆσαι ζητεῖ, πᾶσαν ἄλλην παρορῶσα δυσχέρειαν καὶ ταύτην τὴν δωρεὰν

ποιεῖται ἀσμένως αὐτῇ, ὡς προείρηται. ἔτι ἵνα ἔχωσιν ἄδειαν καὶ ἐξουσίαν ἀγοράσαι οἰκήματα τρία ἢ ἀναλώμασιν ἰδίοις ἀνοικοδομῆσαι ἐν τῇ προειρημένῃ θεοφρουρήτῳ καὶ θεοδοξάστῳ πόλει τῆς βασιλείας μου, τῇ Κωνσταντινουπόλει, ὑπὲρ ἀναπαύσεως καὶ ὑποδοχῆς τῶν πολιτῶν καὶ πραγματευτῶν αὐτῶν τῶν ἐκεῖσε κατὰ καιροὺς εὑρισκομένων. ταύτην μὲν οὖν τὴν ἄδειαν τοῦ ἀγοράσαι ἢ ἀνοικοδομῆσαι τὰ εἰρημένα τρία οἰκήματα δωρεῖται ἡ βασιλεία μου, ὡς προείρηται, τῇ εἰρημένῃ μεγαλοπρεπεῖ κοινότητι τῆς Φλωρεντίας κατὰ τὸ παρόν, καίπερ ἐν τοῖς τοιούτοις ποιησαμένη καὶ ποιοῦσα δυσχέρειαν, ἵνα μὴ ἐξῇ ξένοις οἱοισδήποτε ἀγοράζειν ἢ ἀνοικοδομεῖν οἰκήματα ἐν τῇ προειρημένῃ πόλει τῆς βασιλείας μου, τῇ Κωνσταντινουπόλει, οὐκ ἀποκλείει δὲ εἰς τὸ μέλλον κατὰ τὴν χρεῖαν μὴ δοῦναι ἄδειαν καὶ πλείω τούτων ἀγοράσαι ἢ ἀνοικοδομῆσαι, καθάπερ τῇ βασιλείᾳ μου δόξει ἀναγκαῖον ἅμα καὶ προσῆκον. ἔτι ἵνα ἐπὶ πᾶσι τούτοις ἔχωσι σάλβον κονδοῦκτον πλῆρες καὶ διηνεκὲς οἱ ἐκεῖ ἐλευσόμενοι πραγματευταὶ καὶ πολῖται αὐτῶν ἀπὸ παντὸς συμπτώματος καιρικοῦ, πλὴν μάχης καθολικῆς ἢ βλάβης τινός, ἐάν ποτε συμβῇ γενέσθαι μεταξὺ ἡμῶν καὶ τῆς εἰρημένης κοινότητος. ταῦτα πάντα δωρεῖται ἡ βασιλεία μου τῇ προειρημένῃ περιφανεῖ τῆς Φλωρεντίας κοινότητι καὶ προσδιορίζεται, ἵνα τότε ὦσιν ἐνεργὰ καὶ ἔχωσι χώραν, ὅταν ἡ προρρηθεῖσα περιφανὴς τῆς Φλωρεντίας κοινότης ποιήσῃ τε καὶ πληρώσῃ, ὅσα ἀνωτέρω διασαφεῖται καὶ περιέχεται, οἷον ὅταν ἀνεγείρωσι λόντζαν καὶ καταστήσαντες κούνσουλον στείλωσιν ἐκεῖ κατὰ τὸν διευκρινηθέντα ἀνωτέρω τύπον καὶ τρόπον, καὶ τἄλλα πάντα πληρωθῶσιν, ὅσα ἐν ταῖς προειρημέναις αἰτήσεσί τε καὶ δωρεαῖς περιέχεται. τῇ γοῦν ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξει καὶ νεμεθήσεται ἡ προειρημένη περιφανὴς κοινότης τῆς Φλωρεντίας πάσας τὰς προειρημένας εὐεργεσίας τῆς βασιλείας μου, ἤγουν ἵνα ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἔχει ἄδειαν διὰ τῶν πολιτῶν καὶ ὑπηκόων αὐτῆς τῶν ἐν τῇ θεοφρουρήτῳ πόλει τῆς βασιλείας μου, τῇ Κωνσταντινουπόλει, ἐσομένων χρῆσθαι καὶ νέμεσθαι τὸν ἱερὸν ναὸν τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, ὃς ἦν ποτε τῶν Πισσαίων, κυρίως καὶ δεσποτικῶς, ἔχοντες ἄδειαν ἀνανεοῦν αὐτὸν καὶ ἀνακτίζειν κατὰ τὴν αὐτῶν βούλησιν, σωζομένου μέντοι καὶ φυλαττομένου τοῦ πρώτου αὐτῇ σχήμα-

τος. ἔτι ἵνα ἔχωσι τὴν λόντζαν τὴν γενομένην ποτὲ τῶν εἰρημένων Πισσαίων, ἐν ᾗ ὀφείλουσιν ἀνιστᾶν φλάμουλα δύο, πρῶτον μὲν τῆς βασιλείας μου, εἶτα τῆς εἰρημένης περιφανοῦς κοινότητος, καὶ ἔχωσι καὶ κούνσουλον, ὃν ἂν ἐκλέγηται καὶ πέμπῃ ἐπ' αὐτοῖς ἡ εἰρημένη περιφανὴς κοινότης ὄντα αὐτόχθονα Φλωρεντῖνον καὶ ἔχοντα ἄδειαν κρίνειν καὶ ἀποφαίνεσθαι κατὰ τὸν τύπον τῶν ἄλλων κουνσούλων τῶν ἐν τῇ εἰρημένῃ πόλει τῆς βασιλείας μου, τῇ Κωνσταντινουπόλει, καὶ τιθέναι εἰς φυλακὴν ἰδίαν, ὃν ἂν ἀπὸ τοῦ γένους αὐτῶν θέλωσι παιδεύειν, ἥντινα φυλακὴν αὐτοὶ οἰκοδομήσουσι σύνεγγυς τῆς εἰρημένης λόντζας αὐτῶν· καὶ ἐὰν ποτε συμβῇ ἀποθανεῖν τὸν τοιοῦτον κούνσουλον, ἔχωσιν ἄδειαν οἱ εἰρημένοι πραγματευταὶ ἐκλέγεσθαι καὶ ἀποκαθιστᾶν ἕνα ἐκ μέσου αὐτῶν, ἕως ἂν μαθοῦσα ἡ προειρημένη περιφανὴς κοινότης αὐτῶν ποιήσηται ἕτερον. ἔτι ἵνα ἀπὸ τοῦ συνήθους καὶ νενομισμένου μεγάλου καὶ καθολικοῦ κομμερκίου ἔχωσιν εὐεργεσίαν καὶ δωρεὰν δύο εἰς τὰ ἑκατόν, καίτοι γε δυσχερείας οὐ μικρᾶς ἐνούσης τῷ πράγματι διὰ τὴν γιγνομένην ἐντεῦθεν μείωσιν ἐν τοῖς βασιλικοῖς εἰσοδήμασιν. οὐ γὰρ εἴωθε τὰ τοιαῦτα ῥαδίως παραχωρεῖσθαι, ἀλλ' οὖν ἵνα κἂν τούτῳ ὡς κἂν τοῖς ἄλλοις ἡ προειρημένη μεγαλοπρεπὴς τῆς Φλωρεντίας κοινότης εἰδῇ, πόσον ἡ βασιλεία μου ταῖς αἰτήσεσιν αὐτῆς κατά γε τὸ ἐγχωροῦν ἱκανοποιῆσαι ζητεῖ, πᾶσαν ἄλλην παρορῶσα δυσχέρειαν, καὶ ταύτην τὴν δωρεὰν ποιεῖται ἀσμένως αὐτῇ, ὡς προείρηται. ἔτι ἵνα ἔχωσιν ἄδειαν καὶ ἐξουσίαν ἀγοράσαι οἰκήματα τρία ἢ ἀναλώμασιν ἀνοικοδομῆσαι ἰδίοις ἐν τῇ προειρημένῃ θεοφρουρήτῳ καὶ θεοδοξάστῳ πόλει τῆς βασιλείας μου, τῇ Κωνσταντινουπόλει, ὑπὲρ ἀναπαύσεως καὶ ὑποδοχῆς τῶν πολιτῶν καὶ πραγματευτῶν αὐτῶν τῶν ἐκεῖσε κατὰ καιροὺς εὑρισκομένων. ταύτην μὲν οὖν τὴν ἄδειαν τοῦ ἀγοράσαι ἢ ἀνοικοδομῆσαι τὰ εἰρημένα τρία οἰκήματα δωρεῖται ἡ βασιλεία μου, ὡς προείρηται, τῇ εἰρημένῃ μεγαλοπρεπεῖ κοινότητι τῆς Φλωρεντίας κατὰ τὸ παρόν, καίπερ ἐν τοῖς τοιούτοις ποιησαμένη καὶ ποιοῦσα δυσχέρειαν, ἵνα μὴ ἐξῇ ξένοις οἱοισδήποτε ἀγοράζειν ἢ ἀνοικοδομεῖν οἰκήματα ἐν τῇ προειρημένῃ πόλει τῆς βασιλείας μου, τῇ Κωνσταντινουπόλει, οὐκ ἀποκλείει δὲ εἰς τὸ μέλλον κατὰ τὴν χρείαν μὴ δοῦναι ἄδειαν καὶ πλείω τούτων ἀγοράσαι ἢ ἀνοικοδομῆσαι, καθάπερ δόξει τῇ βασιλείᾳ μου ἀναγκαῖον ἅμα καὶ

ΕΡΓΑΣΤΗΡΙΟ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΣΗΣ
Ε.Γ.Κ. της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

προσῆκον. ἔτι ἵνα ἐπὶ πᾶσι τούτοις ἔχωσι σάλβον κονδοῦκτον πλήρες καὶ διηνεκὲς οἱ ἐκεῖ ἐλευσόμενοι πραγματευταὶ καὶ πολῖται αὐτῶν ἀπὸ παντὸς συμπτώματος καιρικοῦ, πλὴν μάχης καθολικῆς ἢ βλάβης τινὸς, ἐάν ποτε συμβῇ γενέσθαι μεταξὺ ἡμῶν καὶ τῆς εἰρημένης κοινότητος. ταῦτα πάντα δωρεῖται ἡ βασιλεία μου τῇ προειρημένῃ περιφανεῖ τῆς Φλωρεντίας κοινότητι, καὶ προσδιορίζεται, ἵνα τότε ὦσιν ἐνεργὰ καὶ ἔχωσι χώραν, ὅταν ἡ προρρηθεῖσα περιφανὴς τῆς Φλωρεντίας κοινότης ποιήσῃ τε καὶ πληρώσῃ, ὅσα ἀνωτέρω διασαφεῖται καὶ περιέχεται, οἷον ὅταν ἀναγείρωσι λόντζαν καὶ καταστήσαντες κούνσουλον στείλωσιν ἐκεῖ κατὰ τὸν διευκρινηθέντα ἀνωτέρω τύπον καὶ τρόπον καὶ τἄλλα πάντα πληρωθῶσιν, ὅσα ἐν ταῖς προειρημέναις αἰτήσεσί τε καὶ δωρεαῖς περιέχεται. καὶ εἰς τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο πρὸς τοὺς περιφανεῖς καὶ προειρημένους ἄρχοντας, τόν τε σημαιοφόρον τῆς δικαιοσύνης καὶ τοὺς πρώτους τῶν τεχνῶν καὶ δι' αὐτῶν πρὸς πᾶσαν τὴν μεγαλοπρεπῆ πόλιν καὶ κοινότητα τῆς Φλωρεντίας καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα αὔγουστον τῆς νῦν τρεχούσης β' ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἐννακοσιοστοῦ τεσσαρακοστοῦ ἑβδόμου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος †.

' *Orig. membr. tabularii Florentini cum aurea bulla suspensa serico violaceo.*

## XLIII. Sine anno.

***Demetrius Palaeologus, frater imperatoris Ioannis, per legatum suum Athanasium Lascarin privilegia concedit mercatoribus florentinis in Peloponneso.***

† Ἐπειδήπερ ἡ βασιλικὴ μεγαλειότης τοῦ πανευτυχεστάτου καὶ πανυψηλοτάτου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ δεσπότου Ῥωμαίων, κυροῦ Δημητρίου Παλαιολόγου τοῦ Πορφυρογεννήτου, ἔπεμψεν ἐμὲ πρέσβυν εἰς τὰ ἐνταῦθα μέρη τῆς Ἰταλίας, καὶ διωρίσατό μοι, ἵνα ἔλθω καὶ εἰς τὴν περιφανῆ κοινότητά τῆς Φλωρεντίας καὶ δηλώσω

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΙΩΑΝΝΙΝΑ 2006